www.tezaurliturgic.ro

+

# ΑΝΑΠΛΗΡΩΜΑΤΙΚΑ ΤΡΟΠΑΡΙΑ
# ΤΗΣ ΑΚΟΛΟΥΘΙΑΣ
# ΤΟΥ ΟΣΙΟΥ ΚΑΙ ΘΕΟΦΟΡΟΥ ΠΑΤΡΟΣ ΗΜΩΝ
# ΜΩΫΣΕΩΣ ΤΟΥ ΑΙΘΙΟΠΟΣ

(οὗ ἡ μνήμη τῇ κη΄ Αὐγούστου)



Ἅγιον Ὄρος Ἄθως, 1990

ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ



# Τῃ ΚΗ᾽ ΤΟΥ ΜΗΝΟΣ ΑΥΓΟΥΣΤΟΥ ΜΝΗΜΗ ΤΟΥ ΟΣΙΟΥ ΠΑΤΡΟΣ ΗΜΩΝ ΜΩΫΣΕΩΣ ΤΟΥ ΑΙΘΙΟΠΟΣ

* * *

## ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

Ψάλλομεν στιχηρὰ προσόμοια. Ἦχος α᾽. Τῶν οὐρανίων ταγμάτων.

Κατελευκάνθης Αἰθίοψ, τῇ ἐπιλάμψει Χριστοῦ, καὶ γὰρ τοῦ σῶσαι ἦλθε, πεπτωκότας εἰς χάος, διὸ καὶ τῆς προτέρας διαγωγῆς, ἀποστὰς ἠκολούθησας, Τούτῳ ἐκ πόθου ὡς δοῦλος ἐξωνητός, ὅθεν Πάτερ καὶ δεδόξασαι.

Τὴν τοῦ εὐγνώμονος Πάτερ, Ληστοῦ μετάνοιαν, ἐμφρόνως ἐπεδείξω, ἀγαπήσας τὸν βίον, ἀσκήσεως τρισμάκαρ καὶ ὡς στρουθός, ἐν ἐρήμῳ κατῴκησας, κατασυντρίψας τὰς κάρας τῶν νοητῶν, αἰθιόπων ὡς ἀθύρματα.

Ἐν ἡσυχίᾳ ἀσκήσας, εὐχῆς τὸ σύντονον, καὶ ἀγρυπνίας Πάτερ, ἐργασίαν ἐκτήσω, πολλὴν φιλαδελφίαν ὑπομονήν, ὥσπερ λίθος τυπτόμενος, καὶ ἐπὶ πᾶσιν ὡς στέφανον Μωϋσῆ, τὸ ἐν γνώσει ἀκατάκριτον.

Δόξα. Ἦχος β᾽.

Τῆς παροιμίας ἀνέτρεψας τὴν ἀπόφανσιν Πάτερ, ὅτι ψυχῇ τε καὶ σώματι καταμεμελανωμένος ὑπάρχων, τῷ ζωοποιῷ βαπτίσματι, καὶ τῇ σωτηριώδει μετανοίᾳ, κατελευκάνθης ὑπὲρ χιόνα. Ὅθεν τῷ φωτοπαρόχῳ Ἰησοῦ ἀκολουθήσας, τύπος γέγονας ἀσκήσεως,



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

καὶ ὑπογραμμὸς φιλοθεΐας, πολλοὺς εἰσάγων εἰς τὴν Βασιλείαν τοῦ Θεοῦ, τῇ νεκταρώδει σου διδασκαλίᾳ, καὶ τῇ θεαρέστῳ πολιτείᾳ σου. Διό σου Μωϋσῆ παμμακάριστε, τὴν μνήμην σήμερον ἑορτάζοντες, δοξολογοῦμεν τὸν σὲ μεγάλως δοξάσαντα.

Καὶ νῦν. Θεοτοκίον, ὁμόηχον.

Παρῆλθεν ἡ σκιὰ τοῦ Νόμου.

## ΕΙΣ ΤΗΝ ΛΙΤΗΝ

Στιχηρὰ ἰδιόμελα

Ἦχος α'.

Εὐφραίνεται ἡ Καινὴ Διαθήκη σὲ προβάλλουσα ἰσότιμον Μωϋσέα, τῷ τῆς Παλαιᾶς Νομοθέτῃ. Ὡς γὰρ ἐκεῖνος ἐξῆλθες τῆς νοερᾶς Αἰγύπτου καὶ μὴ πνιγεὶς τοῖς κύμασι τοῦ βίου τῆς ἀνομίας, ἔφθασας τὴν γῆν τῆς ἐπαγγελίας, τῇ βαθυτάτῃ σου πίστει. Διὸ καὶ νῦν ἀπολαύων τῶν ἀγαθῶν τῆς Βασιλείας, μνήσθητι Πάτερ τῶν γεραιρόντων σε.

Ἦχος β'.

Ὡς τοὺς κριοὺς τὸ πρότερον ἀδεῶς ἔσφαττες, οὕτω τοὺς τῶν δαιμόνων λόχους ὕστερον Μωϋσῆ ἐξηφάνισας. Καὶ γὰρ Χριστὸς μετήλλαξέ σου τὴν δύναμιν καὶ ἀνεκαίνισέ σου ὡς ἀετοῦ τὴν νεότητα. Ὅθεν τῇ Χάριτι δυναμούμενος, τοὺς ὅρους τῆς φύσεως ὑπερέβης, καὶ κατεφαίδρυνας Ἁγίων τοὺς δήμους τῇ θαυμαστῇ ἀλλοιώσει σου. Ἡμᾶς δὲ τοὺς ὕμνοις τιμῶντάς σε, φύλαττε ἐκ βελῶν τοῦ πονηροῦ ἀτρώτους ταῖς πρεσβείαις σου.

Ἦχος γ'.

Ἀγγελικῶς βιώσας Πάτερ ὅσιε, ἀγγέλων τάγματα διακονοῦντά σοι καὶ ἐνισχύοντά σε ἔσχες, θαυμάζοντα τὴν πολιτείαν σου, ὅτι



ΑΘΩΝΙΚΗ
ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

πάσῃ δυνάμει ἐφύλαξας σεαυτὸν τοῦ μὴ κρῖναι τὸν πλησίον σου, ὁρῶν μόνον καθ' ἑκάστην τὰς τοῦ προτέρου βίου σου πράξεις. Ὅθεν καὶ Χριστὸς ἀγαπήσας σε, θαυματοφόρον ἀνέδειξε, Μωϋσῆ χαριτώνυμε. Πρέσβευε Αὐτῷ δεόμεθα, ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Ἦχος δ'.

Τῆς κοσμικῆς ἀποστὰς συγχύσεως, ὡς ῥομφαία κατὰ τῆς κενοδοξίας ἐχώρησας, ταπεινόφρον πάτερ Μωϋσῆ. Καὶ παίζων πέπαιχας τὸν παίζοντα τοὺς ἀνθρώπους, τῆς ἀρετῆς ἁπάσης τὰ δράγματα, ἐν σεαυτῷ σοφῶς συλλεξάμενος τὸ πρᾷον, τὸ ἄτυφον, τὸ μὴ κρίνειν, τὸ βιάζεσθαι εἰς πάντα, τὸ σύντονον, τὸ σιωπητικὸν καὶ εὐκτικόν. Ὅθεν πρέσβευε ὑπὲρ ἡμῶν, βαλεῖν ἀρχὴν τῆς ἀσκήσεως.

Δόξα. Ἦχος πλ.α'.

Ὢ! τοῦ φιλανθρώπου Σωτῆρος Χριστοῦ τὸ ἀνεξεερεύνητον, τοῦ ἐκ μὴ ὄντος ἐξάγοντος μαργαρίτας πολυτίμους, καὶ θεμένου τούτους εἰς Ἐκκλησίας διδαχήν. Οὗτος καὶ τὸν πρῴην λήσταρχον Μωσῆν γενναῖον ἀσκητήν, εἶτα ἐναπέδειξε, καταπλήξαντα ἀγγέλους καὶ ἀνθρώπους. Ὅθεν εὐγνωμόνως Αὐτῷ βοῶμεν· Δέσποτα πανάγιε, τοὺς τῆς καρδίας ἀπόπλυνον μολυσμούς, καὶ ἀποκάθαρον ἡμᾶς τῇ πατρικῇ σου φιλανθρωπίᾳ, τῇ πρεσβείᾳ τοῦ Ὁσίου σου.

Καὶ νῦν. Θεοτοκίον. Μακαρίζομέν σε.

## ΕΙΣ ΤΟΝ ΣΤΙΧΟΝ

Ψάλλομεν στιχηρὰ προσόμοια
Ἦχος δ'. Ὡς γενναῖον ἐν μάρτυσιν.

Ἐκ τοῦ ὕδατος σέσωσται, Μωϋσῆς ὁ θεσπέσιος, καὶ πλησθεὶς τῆς Χάριτος ἐλυτρώσατο, τῆς αἰγυπτίας δεινότητος, λαὸν περιούσιον, καὶ πρὸς γῆν τῆς Χαναάν, μετὰ ἔτη ὡδήγησε, σὺ δὲ

Ὅσιε, λυτρωθεὶς τοῦ πνιγμοῦ τῆς ἁμαρτίας, τῇ ἐμπείρῳ σου ἀσκήσει, πλήθη Θεῷ προσενήνοχας.

Στίχ. *Καυχήσονται ὅσιοι ἐν δόξῃ...*

Τῆς ἐρήμου κατέλαβες, τὰ ἐνδότατα Ἅγιε, μόνον ἔχων πλοῦτόν σου θείαν Πρόνοιαν, καὶ ὡς στρουθὸς ἀμερίμνησας, τὴν πᾶσάν σου δύναμιν, τῇ ἀσκήσει ἀφιείς, καὶ ἀγάπῃ πτερούμενος, ὄρος ἔφθασας, ἀπαθείας διὸ καὶ ἐδοξάσθης, Μωϋσῆ παρὰ Κυρίου, τοῦ καθαρότητα θέλοντος.

Στίχ. *Ὑπομένων ὑπέμεινα τὸν Κύριον καὶ προσέσχέ μοι.*

Ἀληθῶς καὶ τὰ ἔσωθεν, λευκανθεὶς παμμακάριστε, τοῦ Χριστοῦ ἐφείλκυσας Χάριν ἄμετρον, τῇ ταπεινώσει φυλάττων σου, τὸν πλοῦτον ἀσύλητον, ἐκ λῃστῶν τῶν ἀναιδῶν, καὶ αὐξάνων τὸν σπόρον σου, κρυφιότητι, ἑκατὸν ἀποδοὺς τῷ Εὐεργέτῃ, καὶ Σωτῆρι τῷ καλοῦντι, εἰς σωτηρίαν τὰ ἄχρηστα.

Δόξα. Ἦχος πλ.δ'.

Ὁ ὑποδείξας ἡμῖν πολλὰς ὁδοὺς εἰς σωτηρίαν, φιλανθρωπότατος Δεσπότης Χριστός, καὶ σὲ ἐκάλεσε Μωϋσῆ, εἰς ἐπίγνωσιν τῆς ἀληθείας. Ὅθεν τῇ φιλοτίμῳ μετανοίᾳ, ἀνέτρεψας φύσιν, χρόνον καὶ συνήθειαν, θαυμαστὸς γενόμενος, ἀγγέλοις καὶ ἀνθρώποις. Διό σου σήμερον τὴν μνήμην ἑορτάζουσι, δίδου ταῖς πατρικαῖς σου εὐχαῖς τὴν Χάριν τοῦ Πνεύματος, διαφυλάττων ταύτην, ἐσαεὶ ἐν ἡμῖν ἀμείωτον.

## ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετὰ τὴν α' στιχολογίαν, Κάθισμα.
Ἦχος α'. Τὸν τάφον σου, Σωτήρ.

Ἀγγέλων τοὺς χορούς, τῇ θερμῇ μετανοίᾳ, κατηύφρανας Μωσῆ, ὧν τὸν ἄϋλον βίον, ἐν πᾶσι ἀπεικόνισας, τῇ σεπτῇ πολιτείᾳ σου,



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

καὶ διήγειρας, τῶν φοιτητῶν σου τὰ πλήθη, πρὸς ὁμοίωσιν, τῶν οὐρανίων ταγμάτων, διό σε δοξάζομεν.

Μετὰ τὴν β' στιχολογίαν.
Κάθισμα. Ἦχος γ'. Θείας πίστεως.

Θείαν ἤσκησας, ἀγάπην Πάτερ, ἧς τὴν πύρωσιν, μὴ ὑποφέρων, δι' ἀγώνων θαυμαστῶν ταύτην ἔδειξας, τῇ παθοκτόνῳ νηστείᾳ τὸ σῶμά σου, καθυποτάξας ψυχῆς τοῖς θελήμασι, καὶ μακρύνων σου, τὴν παροικίαν τρισόλβιε, ἐγγύτερον Δεσπότῃ σου συνήρμοσαι.

Μετὰ τὸν Πολυέλεον.
Κάθισμα. Ἦχος πλ. δ'. Τὴν Σοφίαν καὶ Λόγον.

Ματαιότητα κόσμου καταλιπών, τῷ Χριστῷ ἐκολλήθης πάτερ Μωσῆ, καὶ γέγονας ἄριστον, μετανοίας ὑπόδειγμα, μεταλλάξας βίον, ληστοῦ εἰς εὐσέβειαν, τοῦ Εὐαγγελίου, φωτὶ ὁδηγούμενος. Ὅθεν τῆς ἐρήμου, ἀγαπήσας θεόφρον, τὸ ἄκρως ἡσύχιον, καὶ τὸ πάντῃ ἀμέριμνον, ἀρετῆς οἶκος γέγονας, ἐν ᾧ τῶν μοναστῶν οἱ χοροί, ὡς κανόνι στοιχοῦντες ἀσκήσεως, ἀσφαλῶς τὴν θείαν, ζωὴν ἐφευρίσκουσι.

Οἱ ἀναβαθμοί. Τὸ α' ἀντίφωνον τοῦ δ' ἤχου, Ἐκ νεότητός μου.
Προκείμενον. Τοῖς ἁγίοις τοῖς ἐν τῇ γῇ αὐτοῦ....
**Εὐγγέλιον** ὁσιακόν.
Ὁ Ν' ψαλμός.
Δόξα. Ταῖς τοῦ σοῦ Ὁσίου.
Καὶ νῦν. Ταῖς τῆς Θεοτόκου.

Στίχ. *Ἐλεῆμον, ἐλέησόν με ὁ Θεός...*

Ἰδιόμελον. Ἦχος πλ.β'.
Τῆς ἑνδεκάτης ὥρας ἐργάτης γεγονώς, τοὺς τῆς πρώτης πάτερ Μωϋσῆ, θαυμαστῶς τῇ μετανοίᾳ ἐξέπληξας, καὶ αἰθιόπων δαιμόνων ψυχοκτόνων τὰς κάρας συνθλάσας, ἤγειρας τρόπαια

τῷ Χριστῷ. Διό σε μοναζόντων χορεῖαι, ἐκ πόθου τὴν θείαν μνήμην σου γεραίρομεν.

Κοντάκιον. Ἦχος δ'. Ἐπεφάνης σήμερον.(ἀρχαῖον)

Αἰθιόπων πρόσωπα, ἀποῤῥαπίσας,
νοητῶς ἀνέλαμψας,
καθάπερ ἥλιος φαιδρός,
φωταγωγῶν τὰς ψυχὰς ἡμῶν,
τῶν σὲ τιμώντων,
Μωσῆ παμμακάριστε.

**Ὁ Οἶκος**

Ὁ πάντων θέλων τὴν ζωήν, Φιλάνθρωπος Δεσπότης,
ἰδὼν εἰς βάθος σου ψυχήν, τῷ σκότει κεκλεισμένην,
τρόπῳ ἀῤῥήτῳ ἡλίευσεν.
Ὅθεν τῷ θείῳ βαπτίσματι φωτισθείς,
τῆς συνειδήσεως τῷ μαρτυρίῳ προέκρινας εὐαρεστῆσαι Αὐτῷ.
Διὸ ἐν τῇ πανερήμῳ σκηνώσας παμπλούσιος ὤφθης,
κομῶν ποικίλαις ἀρεταῖς.
Ὧι μετὰ δέους ἀτενίζοντες,
δοξάζομεν τὸν ἀπὸ κοπρίας σε ἀνυψώσαντα
εἰς τὸ τῆς θείας υἱοθεσίας χάρισμα,
Μωσῆ παμμακάριστε

## ΕΙΣ ΤΟΥΣ ΑΙΝΟΥΣ

Στιχηρὰ προσόμοια. Ἦχος πλ.δ'. Ὢ! τοῦ παραδόξου θαύματος.

Ὢ! τοῦ παραδόξου θαύματος, μετὰ Ὁσίων ὁ πρίν, φοβερὸς ἐν ληστεύουσιν, καὶ ἀγγέλοις ὅμοιος, ὁ δαιμόνων πρὶν ἄθυρμα. Τὴν θείαν κλῆσιν, εὐθὺς δεξάμενος, ἀνεγεννήθη, διὰ βαπτίσματος, ὅπερ ἐκάλλυνεν, ὁ Μωσῆς τοῖς δάκρυσιν ἀσκητικῶς, ζήσας ὁ ἀείμνηστος, καὶ ὑπερθαύμαστος.

Πάτερ Μωσῆ παμμακάριστε, ἀποβαλὼν τὴν ἀχλύν, τῆς ψυχῆς κατεφώτισαι, λάμψει θείας Χάριτος, ἣν δεξάμενος ηὔξησας, καὶ φιλοπόνως οἰκήσας ἔρημον, κατεκοσμήθης, ὡς οἶκος πάντερπνος, ἐν ᾧ τὸ Ἅγιον, Πνεῦμα κατεσκήνωσεν ὑπερφυῶς, καὶ πολλοῖς σημείοις σε λαμπρῶς ἐβράβευσεν.

Τῶν πεπραγμένων σοι ἔλεγχος, κλεὶς ἀσφαλὴς γεγονώς, οὐκ ἠφίει σε Ὅσιε, τὰ ἑτέρων πταίσματα, κατακρίνειν τὸ σύνολον. Διὸ Χριστός σε, Μωσῆ ἠγάπησεν, καὶ ταπεινώσει πολλῇ ἐπλούτισεν· ὅθεν ἀσύλητον, θησαυρὸν ἐφύλαξας σῶν ἀρετῶν, δι᾽ ἃς μακαρίζομεν, πάτερ τὴν μνήμην σου.

Ὥσπερ νεκρὸς εἰσελήλυθας, ἐν τῷ μνημείῳ Μωσῆ, καὶ κλαυθμὸν ἐργαζόμενος, εὗρες νῦν ἀνάπαυσιν, ἔνθεν λύπη ἐλήλαται, καὶ σταφυλή τις καθάπερ εἴρηκας, ὀπτὴ φανεῖσα, ληνῷ συγκέκλεισαι,
τοῦ Ἐργοδότου σου, παρ᾽ Οὗ καὶ τὸ δίκαιον ἀπολαβών, ὄφλημα μνημόνευε, τοὺς σὲ γεραίροντας.

Δόξα. Ἦχος πλ.α'

Σήμερον ἐπέλαμψεν φαιδρὰ ἡμῖν, ἡ τοῦ αἰθίοπος Μωϋσέως μνήμη, εὐφραίνουσα καρδίας μονοτρόπων, καὶ στηρίζουσα ἰσχύας ἀσκητικάς. Οὗτος γὰρ ὁ μακάριος ὡς δοῦλος ὠνητὸς ἐργασάμενος ἐπιμελῶς τὴν σωτηρίαν, καὶ ἐν κλαυθμῷ διηνεκεῖ καθαρθεὶς τὴν ψυχήν, εἰς οὐδὲν ἑαυτὸν λογισάμενος, γέγονε συνέστιος τῷ Κυρίῳ. Ἔνθεν εὑρισκόμενος ἡμᾶς διδάσκει· Πρὸς ὀλίγον ἀδελφοὶ ὁ κάματος, καὶ εἰς ἀεὶ ἔσται ἡ ἀνάπαυσις. Αὐτοῦ τὸν δρόμον μιμούμενοι, καὶ τῶν ἴσων γερῶν ἀξιωθησόμεθα, ταῖς ἀηττήτοις εὐχαῖς αὐτοῦ πρὸς Κύριον.

Καὶ νῦν. Μακαρίζομέν σε.

**Εἰς τὴν Θείαν Λειτουργίαν**

Τυπικά. Εἰς τοὺς Μακαρισμούς, γ' τῆς γ' ᾠδῆς καὶ γ' τῆς Ϛ' τοῦ κανόνος τοῦ Μηναίου.



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

**Ἀπόστολος καὶ Εὐαγγέλιον τὰ Ὁσιακά.**
Κοινωνικόν. Εἰς μνημόσυνον αἰώνιον ἔσται δίκαιος. Ἀλληλούϊα.

*Μεγαλυνάρια*

Τὸν ἐξ Αἰθιόπων μέγαν Μωσῆν, δεῦτε μοναζόντων, αἱ χορεῖαι χαρμονικῶς, ὕμνοις εὐφημοῦντες, τιμήσωμεν ἐκ πόθου, αὐτὸς γὰρ τῶν δαιμόνων, διώκει φάλαγγας.

Λεύκανόν με Πάτερ ταῖς σαῖς εὐχαῖς, τὴν ψυχὴν ἐκ πάσης, ἐπηρείας τοῦ πονηροῦ, καὶ ἀξίωσόν με, τῆς ἄνω Βασιλείας, σὺν πᾶσι τοῖς Ἁγίοις, Μωσῆ τρισόλβιε.

Στίχοι

*Μέλα Μωϋσῆ, πλὴν λευκὲ τὴν καρδίαν,*
*λεύκανον ψυχὴν λευκοῦ μελανωθέντος.*
*Δίδου δὲ τοῖς σὲ ὑμνολογοῦσι χάριν,*
*ἀλλὰ καὶ ἣν σύ, νῦν ἔχεις φαιδρὰν στάσιν.*
*Ἀμήν.*